θεν τὸ νένησμαι καὶ νένασμαι κατὰ τροπὴν τοῦ η εἰς α. ἀλλὰ βέλτιον ἴσως εἰ τὸ νενασμένοι λαμβάνοιτο ἀντὶ τοῦ πεπληρωμένοι, ὥσπερ ἐν ταῖς Ἐκκλησιαζούσαις αἱ τράπεζαι ἐπινενασμέναι ἁπάντων ἀγαθῶν λέγονται, τουτέστι, πεπληρωμέναι. ἐν σελίδι 504. καὶ ταῦτα, ἀμφορῆς ἄλλως νενασμένοι, παροιμιακῶς δ' εἰώθασι λέγεσθαι περὶ ἀνθρώπων, οὓς ἀγαθοὺς νομίζομεν, καὶ παρ' οὐδὲν ἡγούμεθα.

Σχόλια. Μάκαρ Στρεψίαδες.] Στρεψιάδη μὲν ἡ κλητική. ἀλλ' ἵνα παίξῃ εἰς τὸ ὄνομα διέστρεψε τὴν κλητικὴν καὶ ὡς ἄγροικος ἔπταισεν. ἔκθεσις δὲ τῆς διπλῆς περιοδικῆ, εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκειμένου ὀκτάκωλος. ὧν τὸ πρῶτον, ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. εἰ δὲ βούλει ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερὲς ἀντὶ ἰωνικοῦ ἔχον ἐπίτριτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ πέμπτον ἰαμβικὸν ἑφθημιμερές, τὸ ς ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου καὶ κρητικοῦ. εἰ δὲ βούλει τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως τεθειμένου. ἢ τὸ μὲν πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ δ' ἕκτον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς, καὶ δοχμίου συζυγίας συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὴν τρίμετρον ὥσπερ καταληκτικὴν καὶ δόχμιον. τὸ ἕβδομον ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐξ ἰωνικοῦ καὶ διτροχαίου. ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η ἰωνικὸν ἡμιόλιον ἐκ διτροχαίου καὶ σπονδείου ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ τετάρτη.

ΠΑΣΙΑΣ Ο ΔΑΝΕΙΣΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΡΤΥΡ.

Τρίμετροι.

Εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;  
Οὐδέποτέ γ'. ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε  
Ἀπερυθριάσαι γε μᾶλλον, ἢ σχεῖν πράγματα.  
Ὅτε τῶν ἐμαυτοῦ γ' οὕνεκα νυνὶ χρημάτων  
Ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι  
Ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.  
Ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ  
Ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην. Στρ. τίς οὑτοσί;  
Πασ. Ἐς τὴν ἕνην τε καὶ νέαν. Στρεψ. μαρτύρομαι,  
Ὅτι ἐς δύ' εἶπεν ἡμέρας, τοῦ χρήματος;  
Πασ. Τῶν δώδεκα μνῶν, ἃς ἔλαβες, ὠνούμενος

## ACTVS IV. SCENA quarta.

Pasias Danista, Strepsiades, Testis.

*Senarij.*

*Itáne tandem fas sit hominem sua perdere?*  
*Minimè omnium: sed deposuisse iam statim*  
*Satius erat multò, quàm tot molestiis*  
*Affici. Equidem meæ causa pecuniæ,*  
*Nunc detraho, vt in ius debitorem mihi voces,*  
*Vtque ex amico inimicum ego iam mihi comparem:*  
*Nunquam tamen patriæ meæ fuero probro.*  
*Quoad vixero, sed vocabo Strepsiadem.* ST. *quis hic?*  
PA. *Heus tu, vetus & noua appetiit iam dies.*  
ST. *Ego testor vos, quòd dixerit duos dies.*  
*Sed cuiusnam pecuniæ causa? cedò.*  
PA. *Propter duodecim minas, quas fœnore*

Σχόλια. Εἶτ' ἄνδρα] κορωνὶς ὁμοία ταῖς ῥηθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με. ὧν τελευταῖος ὅτι ἢ κάλεσαι εὐηθικῶς τὴν κάρδοπον. ἐπὶ τῷ τέλει κορωνίς. ἔρχεται δὲ δανειστὴς τοῦ Στρεψιάδου Πασίας ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα. πρὸς ὃν διαλέγεται. προϊέναι δὲ ἀντὶ τοῦ προδιδόναι καὶ κιχρᾶν. ἀγανακτεῖ δὲ ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδανείσατο χρήματα. φησὶν οὖν οὐ χρὴ ῥαδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, εἰπὼν μὴ διδόναι. ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι. ἀλλ' οὔτε δανεῖσαι. ὁ γὰρ δανείζων, ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι. ἀλλὰ προϊέναι ἐμφαντικῶς, ἀντὶ τοῦ ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν. Ἀπερυθριάσαι γε μᾶλλον.] ἀντὶ τοῦ ἀρνησάμενον μὴ χρῆσαι. ἢ χρήσαντα πράγματα ἔχειν. ἀναισχυντῆσαι εἰπόντα μὴ ἔχειν.

Bisetvs. Κλητεύσοντα] τουτέστι μαρτυρήσοντα, ὅτι καλῶ αὐτὸν εἰς τὸ δικαστήριον. Σ.

Σχόλια. Ἐς τὴν ἕνην τε καὶ νέαν.] εἰς δικαστήριον δηλονότι, ὑπέρβατόν δέ. ἀλλὰ καλοῦμαι Στρεψιάδην, εἰς ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι. Τοῦ χρήματος.] λείπει χάριν ἢ περί. Ἀττικῶς ἕνεκα. τοῦ χρήματος ἤγουν τοῦ πράγματος ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς τῶν δώδεκα μνῶν καὶ τὰ ἑξῆς.